Ακαδημία Αθηνών / Academy of Athens



**πολύποινος.** Πολύποινος/πολλαπλὰ τιμωρός, much punishing/multipunishing, Παρμενίδης 1.14 *αὐταὶ δ' αἰθέριαι πλῆνται μεγάλοισι θυρέτροις· τῶν δὲ Δίκη π ο λ ύ π ο ι ν ο ς ἔχει κληῖδας ἀμοιβούς.*

**πολυπραγμονεῖν.** Πολυασχολοῦμαι/ὑπερφροντίζω, be very busy/care too much, Δημόκριτος 80 *αἰσχρὸν τὰ ὀθνεῖα π ο λ υ π ρ α γ μ ο ν έ ο ν τ α ἀγνοεῖν τὰ οἰκήϊα.*

**πολὺς 1.** Πολύς, much/great, Ἡράκλειτος 39 *ἐν Πριήνῃ Βίας ἐγένετο ὁ Τευτάμεω, οὗ π λ ε ί ω ν λόγος ἢ τῶν ἄλλων* Ἀναξαγόρας 4.17 *καὶ γῆς π ο λ λ ῆ ς ἐνεούσης* Δημόκριτος A 77 (DK II 103,25) *ὑπὸ σάλου π ο λ λ ο ῦ καὶ θερμότητος* A 155 (DK II 126,36) *π ο λ λ ὴ ἐπίρροια τῶν χυμῶν* 160 *οὐ κακῶς ζῆν ... ἀλλὰ π ο λ ὺ ν χρόνον ἀποθνήσκειν* **2.** Πολυάριθμος/πολυπληθής, numerous, Ξενοφάνης 12.1 *ὡς π λ ε ῖ σ τ (α) ἐφθέγξαντο θεῶν ἀθεμίστια ἔργα* Ἐμπεδοκλῆς 2.2 *στεινωποὶ μὲν γὰρ παλάμαι κατὰ γυῖα κέχυνται· π ο λ λ ὰ δὲ δείλ' ἔμπαια, τά τ' ἀμβλύνουσι μέριμνας* 23.4 *ἁρμονίῃ μείξαντε τὰ μὲν π λ έ ω, ἄλλα δ' ἐλάσσω* 39.2 *ὡς διὰ π ο λ λ ῶ ν δὴ γλώσσας ἐλθόντα ματαίως ἐκκέχυται στομάτων ὀλίγον τοῦ παντὸς ἰδόντων* 52 *π ο λ λ ὰ δ' ἔνερθ(ε) οὔδεος πυρὰ καίεται* 57.1 *ἧ π ο λ λ α ὶ μὲν κόρσαι ἀναύχενες ἐβλάστησαν* Φιλόλαος 5 *ἑκατέρω δὲ τῶ εἴδεος π ο λ λ α ὶ μορφαί, ἃς ἕκαστον αὐταυτὸ σημαίνει* Ἀναξαγόρας 5 *τούτων δὲ οὕτω διακεκριμένων γινώσκειν χρή, ὅτι πάντα οὐδὲν ἐλάσσω ἐστὶν οὐδὲ π λ ε ί ω (οὐ γὰρ ἀνυστὸν πάντων π λ ε ί ω εἶναι), ἀλλὰ πάντα ἴσα ἀεὶ* 12.25 *μοῖραι δὲ π ο λ λ α ὶ π ο λ λ ῶ ν εἰσι* Διογένης 5.7-10-20 *π ο λ λ ο ὶ τρόποι καὶ αὐτοῦ τοῦ ἀέρος καὶ τῆς νοήσιός εἰσιν ... καὶ ἄλλαι π ο λ λ α ὶ ἑτεροιώσιες ἔνεισι καὶ ἡδονῆς καὶ χροιῆς ἄπειροι ... ἅτε οὖν πολυτρόπου ἐούσης τῆς ἑτεροιώσιος πολύτροπα καὶ τὰ ζῷα καὶ π ο λ λ ὰ καὶ οὔτε ἰδέαν ἀλλήλοις ἐοικότα οὔτε δίαιταν* 6.25-29-33 *σχίζονται δὲ καὶ ἐπὶ τὴν κοιλίαν καὶ τὸ πλευρὸν π ο λ λ α ὶ ἀπ' αὐτῶν καὶ λεπταὶ φλέβες ... σχίζονται εἰς τὴν κεφαλὴν π ο λ λ α ὶ ... ἔστι δ' ἑτέρα φλὲψ ἐν τῷ τραχήλῳ παρὰ τὴν μεγάλην ἑκατέρωθεν, ἐλάττων ἐκείνης ὀλίγον, εἰς ἣν αἱ π λ ε ῖ σ τ α ι ἐκ τῆς κεφαλῆς συνέχουσιν αὐτῆς* Δημόκριτος 64 *π ο λ λ ο ὶ*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

πολυμαθέες νοῦν οὐκ ἔχουσιν 235.5 αἱ μὲν ἡδοναὶ βραχεῖαί τε καὶ δι' ὀλίγου γίνονται, ὁκόσον ἂν χρόνον ἐσθίωσιν ἢ πίνωσιν, αἱ δὲ λῦπαι π ο λ λ α ὶ 276 οὐ δοκεῖ μοι χρῆναι παῖδας κτᾶσθαι· ἐνορῶ γὰρ ἐν παίδων κτήσει π ο λ λ ο ὺ ς μὲν καὶ μεγάλους κινδύνους, π ο λ λ ὰ ς δὲ λύπας, ὀλίγα δὲ τὰ εὐθηλέοντα καὶ ταῦτα λεπτά τε καὶ ἀσθενέα 277.7-8 καὶ τοῦτο τοσοῦτον διαφέρει, ὅσον ἐνταῦθα μὲν ἔστι τὸν παῖδα λαβεῖν καταθύμιον ἐκ π ο λ λ ῶ ν, οἷον ἂν δέῃ. ἢν δέ τις ποιῆται (sc. παῖδα) ἀπὸ ἑωυτοῦ, π ο λ λ ο ὶ ἔνεισι κίνδυνοι· ἀνάγκη γάρ, ὃς ἂν γένηται, τούτῳ χρῆσθαι 285 γινώσκειν χρεὼν ἀνθρωπίνην βιοτὴν ἀφαυρήν τε ἐοῦσαν καὶ ὀλιγοχρόνιον π ο λ λ ῇ- σ ί ν τε κηρσὶ συμπεφυρμένην καὶ ἀμηχανίῃσιν, ὅκως ἄν τις μετρίης τε κτήσιος ἐπιμέληται καὶ μετρῆται ἐπὶ τοῖς ἀναγκαίοις ἡ ταλαιπωρίη 286 εὐτυχὴς ὁ ἐπὶ μετρίοισι χρήμασιν εὐθυμεόμενος, δυστυχὴς δὲ ὁ ἐπὶ π ο λ λ ο ῖ σ ι δυσθυμεόμενος Ἀρχύτας 1.17 π ο λ λ ο ὺ ς μὲν δὴ αὐτῶν οὐκ εἶναι ἁμῶν τᾷ φύσει οἵους τε γινώσκεσθαι, τοὺς μὲν διὰ τὰν ἀσθένειαν τᾶς πλαγᾶς, τοὺς δὲ διὰ τὸ μᾶκος τᾶς ἀφ' ἁμῶν ἀποστάσιος. || **πολλοί.** Ἡράκλειτος 17 οὐ γὰρ φρονέουσι τοιαῦτα π ο λ λ ο ί, ὁκόσοι ἐγκυρεῦσιν, οὐδὲ μαθόντες γινώσκουσιν, ἑωυτοῖσι δὲ δοκέουσι Δημόκριτος 53 π ο λ λ ο ὶ λόγον μὴ μαθόντες ζῶσι κατὰ λόγον 53a π ο λ λ ο ὶ δρῶντες τὰ αἴσχιστα λόγους ἀρίστους ἀσκέουσιν 97 π ο λ λ ο ὶ δοκέοντες εἶναι φίλοι οὐκ εἰσί, καὶ οὐ δοκέοντες εἰσὶν 242 π λ έ ο ν ε ς ἐξ ἀσκήσιος ἀγαθοὶ γίνονται ἢ ἀπὸ φύσιος. || **οἱ πολλοί** (ἀντίθ. οἱ ἄριστοι). Ἡράκλειτος 2 τοῦ λόγου δ' ἐόντος ξυνοῦ ζώουσιν οἱ π ο λ λ ο ὶ ὡς ἰδίαν ἔχοντες φρόνησιν 29 αἱρεῦνται γὰρ ἓν ἀντὶ ἁπάντων οἱ ἄριστοι, κλέος ἀέναον θνητῶν· οἱ δὲ π ο λ λ ο ὶ κεκόρηνται ὅκωσπερ κτήνεα 104 οἱ π ο λ λ ο ὶ κακοί, ὀλίγοι δὲ ἀγαθοί. || **πολλά.** Ἡράκλειτος 35 χρὴ γὰρ εὖ μάλα π ο λ λ ῶ ν ἵστορας φιλοσόφους ἄνδρας εἶναι Ἀναξαγόρας 4.1-9 τούτων δὲ οὕτως ἐχόντων χρὴ δοκεῖν ἐνεῖναι π ο λ λ ά τε καὶ παντοῖα ἐν πᾶσι τοῖς συγκρινομένοις καὶ σπέρματα πάντων χρημάτων καὶ ἰδέας παντοίας ἔχοντα ... καὶ τὴν γῆν αὐτοῖσι φύειν π ο λ λ ά τε καὶ παντοῖα 6.7 ἐν πᾶσι δὲ π ο λ λ ὰ ἔνεστι καὶ τῶν ἀποκρινομένων ἴσα πλῆθος ἐν τοῖς μείζοσί τε καὶ ἐλάσσοσι 12.25-29 μοῖραι δὲ πολλαὶ π ο λ λ ῶ ν εἰσι ... νοῦς δὲ πᾶς ὅμοιός ἐστι καὶ ὁ μείζων καὶ ὁ ἐλάττων. ἕτερον δὲ οὐδέν ἐστιν ὅμοιον οὐδενί, ἀλλ' ὅτων π λ ε ῖ σ τ α ἔνι, ταῦτα

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ἐνδηλότατα ἓν ἕκαστόν ἐστι καὶ ἦν Διογένης 8 ἀλλὰ τοῦτό μοι δῆλον δοκεῖ εἶναι, ὅτι καὶ μέγα καὶ ἰσχυρὸν καὶ ἀίδιόν τε καὶ ἀθάνατον καὶ π ο λ λ ὰ εἰδός ἐστι Δημόκριτος 3 τὸν εὐθυμεῖσθαι μέλλοντα χρὴ μὴ π ο λ λ ὰ πρήσσειν, μήτε ἰδίῃ μήτε ξυνῇ, μηδὲ ἅσσ' ἂν πράσσῃ, ὑπέρ τε δύναμιν αἱρεῖσθαι τὴν ἑωυτοῦ καὶ φύσιν· ἀλλὰ τοσαύτην ἔχειν φυλακήν, ὥστε καὶ τῆς τύχης ἐπιβαλλούσης καὶ ἐς τὸ π λ έ ο ν ὑπηγεομένης τῷ δοκεῖν, κατατίθεσθαι, καὶ μὴ π λ έ ω προσάπτεσθαι τῶν δυνατῶν 35 γνωμέων μεν τῶνδε εἴ τις ἐπαΐοι ξὺν νόῳ, π ο λ λ ὰ μὲν ἔρξει πράγματ' ἀνδρὸς ἀγαθοῦ ἄξια, π ο λ λ ὰ δὲ φλαῦρα οὐχ ἔρξει 85 ὁ ἀντιλογεόμενος καὶ π ο λ λ ὰ λεσχηνευόμενος ἀφυὴς ἐς μάθησιν ὧν χρὴ 119 τὰ δὲ π λ ε ῖ σ τ α ἐν βίῳ εὐξύνετος ὀξυδερκείη κατιθύνει 191.12 καὶ μηκέτι π λ ε ι ό ν ω ν ἐπιθυμέοντι συμβαίνῃ κακοπαθεῖν τῇ ψυχῇ 224 ἡ τοῦ π λ έ ο ν ο ς ἐπιθυμίη τὸ παρεὸν ἀπόλλυσι 280 ἔξεστιν οὐ π ο λ λ ὰ τῶν σφετέρων ἀναλώσαντας παιδεῦσαί τε τοὺς παῖδας 284 ἢν μὴ π ο λ λ ῶ ν ἐπιθυμέῃς, τὰ ὀλίγα τοι π ο λ λ ὰ δόξει· σμικρὰ γὰρ ὄρεξις πενίην ἰσοσθενέα πλούτῳ ποιέει Ἀρχύτας 1.56 ὅτι μὲν δὴ τοὶ ὀξεῖς φθόγγοι τάχιον κινέονται, οἱ δὲ βαρεῖς βράδιον, φανερὸν ἁμῖν ἐκ π ο λ λ ῶ ν γέγονεν. || **πολλά-πλέονα** (σὲ ἀντίθεση πρὸς τὸ ἕν). Ζήνων 1.8 οὕτως εἰ π ο λ λ ά ἐστιν, ἀνάγκη αὐτὰ μικρά τε εἶναι καὶ μεγάλα 3.1-2-4 εἰ π ο λ λ ά ἐστιν, ἀνάγκη τοσαῦτα εἶναι ὅσα ἐστὶ καὶ οὔτε π λ ε ί ο ν α αὐτῶν οὔτε ἐλάττονα ... εἰ π ο λ λ ά ἐστιν, ἄπειρα τὰ ὄντα ἐστὶν Μέλισσος 8(2)-(4)-(5)-(6) εἰ γὰρ ἦν π ο λ λ ά, τοιαῦτα χρὴ αὐτὰ εἶναι, οἷόν περ ἐγώ φημι τὸ ἓν εἶναι ... φαμένοις γὰρ εἶναι π ο λ λ ὰ καὶ ἀίδια (?) καὶ εἴδη τε καὶ ἰσχὺν ἔχοντα, πάντα ἑτεροιοῦσθαι ἡμῖν δοκεῖ καὶ μεταπίπτειν ἐκ τοῦ ἑκάστοτε ὁρωμένου. δῆλον τοίνυν, ὅτι οὐκ ὀρθῶς ἑωρῶμεν οὐδὲ ἐκεῖνα π ο λ λ ὰ ὀρθῶς δοκεῖ εἶναι ... οὕτως οὖν, εἰ π ο λ λ ὰ εἴη, τοιαῦτα χρὴ εἶναι, οἷόν περ τὸ ἕν Ἐμπεδοκλῆς 17.2-9-10-17 δίπλ' ἐρέω· τοτὲ μὲν γὰρ ἓν ηὐξήθη μόνον εἶναι ἐκ π λ ε ό ν ω ν, τοτὲ δ' αὖ διέφυ π λ έ ο ν' ἐξ ἑνὸς εἶναι ... ⟨οὕτως ᾗ μὲν ἓν ἐκ π λ ε ό ν ω ν μεμάθηκε φύεσθαι⟩ ἠδὲ πάλιν διαφύντος ἑνὸς π λ έ ο ν' ἐκτελέθουσι ... τοτὲ μὲν γὰρ ἓν ηὐξήθη μόνον εἶναι ἐκ π λ ε ό ν ω ν, τοτὲ δ' αὖ διέφυ π λ έ ο ν' ἐξ ἑνὸς εἶναι 26.8-9 οὕτως ᾗ μὲν ἓν ἐκ π λ ε ό ν ω ν μεμάθηκε φύεσθαι ἠδὲ πάλιν διαφύντος ἑνὸς π λ έ ο ν' ἐκτελέθουσι. || **τὸ πολύ** (ὡς περιέχον). Ἀναξαγόρας 2 καὶ γὰρ ἀήρ τε

Ακαδημία Αθηνών / Academy of Athens

*καὶ αἰθὴρ ἀποκρίνονται ἀπὸ τ ο ῦ π ο λ λ ο ῦ τοῦ περιέχοντος, καὶ τό γε περιέχον ἄπειρόν ἐστι τὸ πλῆθος* 14 *ὁ δὲ νοῦς, ὅς ἀεί ἐστι, τὸ κάρτα καὶ νῦν ἐστιν ἵνα καὶ τὰ ἄλλα πάντα, ἐν τ ῷ π ο λ λ ῷ περιέχοντι καὶ ἐν τοῖς προσκριθεῖσι καὶ ἐν τοῖς ἀποκεκριμένοις.* || **τὸ πλέον.** Παρμενίδης 16.4 *τ ὸ γὰρ π λ έ ο ν ἐστὶ νόημα.*

**πολύσημος.** Πολύσημος, with many significations, Δημόκριτος 26 καλεῖ δὲ ὁ αὐτὸς (sc. Δημόκριτος) τὸ μὲν πρῶτον ἐπιχείρημα *π ο λ ύ σ η μ ο ν*, τὸ δὲ δεύτερον *ἰσόρροπον* ⟨τὸ δὲ τρίτον *μετώνυμον*⟩, τὸ δὲ τέταρτον *νώνυμον.*

**πολυσπερής.** Πολύσπερμος, abounding in semens, Ἐμπεδοκλῆς 74 *φῦλον ἄμουσον ἄγουσα π ο λ υ σ π ε ρ έ ω ν καμασήνων.*

**πολυτελής.** Πλουσιοπάροχος/κατάμεστος, richly supplied, Δημόκριτος 210 *τράπεζαν π ο λ υ τ ε λ έ α μὲν τύχη παρατίθησιν, αὐταρκέα δὲ σωφροσύνη.*

**πολύτροπος.** Πολύτροπος, multiform, Διογένης 5.8-19-20 *πολλοὶ τρόποι καὶ αὐτοῦ τοῦ ἀέρος καὶ τῆς νοήσιός εἰσιν· ἔστι γὰρ π ο λ ύ τ ρ ο π ο ς ... ἅτε οὖν π ο λ υ τ ρ ό π ο υ ἐούσης τῆς ἑτεροιώσιος π ο λ ύ τ ρ ο π α καὶ τὰ ζῷα καὶ πολλά.* Πρβλ. *τρόπος, εὐτροπίη.*

**πολύφημος.** Μεστὸς διδαχῆς, full of teaching, Παρμενίδης 1.2 *ἵπποι ταί με φέρουσιν, ὅσον τ' ἐπὶ θυμὸς ἱκάνοι, πέμπον, ἐπεί μ' ἐς ὁδὸν βῆσαν π ο λ ύ φ η μ ο ν ἄγουσαι δαίμονες, ἣ κατὰ πάντ' ἄστη φέρει εἰδότα φῶτα.*

**πολυφθερής.** Πολύφθαρτος, multidestructible, Ἐμπεδοκλῆς 113.2 *εἰ θνητῶν περίειμι π ο λ υ φ θ ε ρ έ ω ν ἀνθρώπων.*

**πολύφραστος.** Περίφημος/πολὺ αἰσθαντικός, famous/sensitive, Παρμενίδης 1.4 *τῇ γάρ με π ο λ ύ φ ρ α σ τ ο ι φέρον ἵπποι.*

**πολυφροσύνη.** Πολλαπλὴ φρόνηση/πολύπλευρη εἰδημοσύνη, wisdom on many fields/many-sided wisdom, Δημόκριτος 40

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ